[illegible] διὸ καὶ τὰ θηρία, οὔτε σώφρονα, οὔτε ἀκόλαστα λέγομεν, ἀλλ' ἢ κατὰ μεταφοράν· καὶ εἴ τινι ὅλως ἄλλο πρὸς ἄλλο διαφέρει γένος τῶν ζῴων ὕβρει καὶ σιναμωρίᾳ, καὶ τῷ παμφάγον εἶναι· οὐ γὰρ ἔχει προαίρεσιν, οὐδὲ λογισμόν, ἀλλ' ἐξέστηκε τῆς φύσεως, ὥσπερ οἱ μαινόμενοι τῶν ἀνθρώπων. ἔλαττον δὲ θηριότης, κακίας· φοβερώτερον δέ· οὐ γὰρ διέφθαρται τὸ βέλτιστον, ὥσπερ ἐν τῷ ἀνθρώπῳ, ἀλλ' οὐκ ἔχει. ὅμοιον οὖν, ὥσπερ ἄψυχον συμβαλεῖν πρὸς ἔμψυχον, πότερον κάκιον· ἀσινεστέρα γὰρ ἡ φαυλότης ἀεί, ἡ τοῦ μὴ ἔχοντος ἀρχήν· ὁ δὲ νοῦς, ἀρχή. παραπλήσιον οὖν τὸ συμβάλλειν ἀδικίαν πρὸς ἄνθρωπον ἄδικον· ἔστι γὰρ ὡς ἑκάτερον κάκιον· μυριοπλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνθρωπος κακός, θηρίου.

Κεφάλαιον η.

ΠΕρὶ δὲ τὰς δι' ἀφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας, καὶ ἐπιθυμίας καὶ φυγάς, περὶ ἃς ἥ τε ἀκολασία καὶ ἡ σωφροσύνη διωρίσθη πρότερον, ἔστι μὲν οὕτως ἔχειν, ὥστε ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ κρείττους· ἔστι δὲ κρατεῖν, καὶ ὧν οἱ πολλοὶ ἥττους. τούτων δ' ὁ μὲν περὶ ἡδονάς, ἀκρατής· ὁ δ', ἐγκρατής· ὁ δὲ περὶ λύπας, μαλακός· ὁ δέ, καρτερικός. μεταξὺ δὲ τῶν πλείστων ἕξεις, κἂν εἰ ῥέπωσι μᾶλλον πρὸς τὰς χείρους. ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν, ἀναγκαῖαί εἰσιν· αἱ δ', οὔ, καὶ μέχρι τινός· αἱ δ' ὑπερβολαί, οὔ, οὐδὲ αἱ ἐλλείψεις· ὁμοίως δὲ καὶ περὶ ἐπιθυμίας ἔχει καὶ λύπας· ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδέων, ἢ καθ' ὑπερβολάς, ἢ διὰ προαίρεσιν, καὶ δι' αὐτάς, καὶ μηδὲν δι' ἕτερον ἀποβαῖνον, ἀκόλαστος· ἀνάγκη γὰρ τοῦτον μὴ εἶναι μεταμελητικόν· ὥστ' ἀνίατος· ὁ δὲ ἐλλείπων, ὁ ἀντικείμενος· ὁ δὲ μέσος, σώφρων. ὁμοίως δὲ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας, μὴ δι' ἧτταν, ἀλλὰ διὰ προαίρεσιν. τῶν δὲ μὴ προαιρουμένων, ὁ μὲν ἄγεται, τὸ διὰ τὴν ἡδονήν· ὁ δέ, διὰ τὸ φεύγειν τὴν λύπην, τὴν ἀπὸ τῆς ἐπιθυμίας· ὥστε διαφέρουσιν ἀλλήλων. παντὶ δὲ ἂν δόξειε χεῖρον εἶναι, εἴ τις μὴ ἐπιθυμῶν, ἢ ἠρέμα, πράττοι τι αἰσχρόν, ἢ εἰ σφόδρα ἐπιθυμῶν· καὶ εἰ μὴ ὀργιζόμενος τύπτοι, ἢ εἰ ὀργιζόμενος· τί γὰρ ἂν ἐποίει, ἐν πάθει ὤν;

A temperantia versatur: vnde bestias neque temperantes neque intemperantes dicimus, nisi per translationem: & si quo alio modo omnino animalium genus aliud ab alio tum contumelia & salacitate, tum voracitate differt. Non enim electionem, neque rationem habent, sed è natura non secus ac furentes homines excesserunt, feritas autem minus quidem quàm vitium, sed horribilius tamen malum est, quippe B cum non sit corrupta, quemadmodum in homine optima pars, sed desit, & non habeat. Simile nanque est perinde ac si inanimatum ad animatum conferre velimus, vtrum peius sit. semper enim prauitas eius quod non habet principium: intellectus autem est principium: minus idonea ad nocendum est. Non secus igitur est ac si iniustitiam ad iniustum hominem quispiam conferat: vtrunque enim aliquo modo peius est. millies plura enim mala homo C malus quàm bestia perpetraret.

CAPVT VIII.

AT verò circa tactus gustatúsque voluptates & dolores, cupiditates item & fugas, circa quas intemperantia & temperantia definita prius est, ita se habere quispiam potest, vt vel quibus plerique sunt superiores ab iis vincatur: vel ea superet, quibus plerique succumbunt. Ex his autē qui circa voluptates versatur, alter inconD tinens, alter continens: qui circa dolores, alter mollis, tolerans alter dicitur, plurimorum vero habitus medii sunt, licet magis ad deteriores declinent. Sed quia nonnullæ voluptates necessariæ sunt, aliæ non necessariæ, & quadantenus: excessus verò & defectus necessarij minimè sunt: & simili modo etiam circa cupiditates & dolores res sese habet: qui iucundarum rerum excessus vel cum excessu, vel ex eleE ctione & propter ipsas, nullámque aliam ob rem euenientem persequitur, intemperans, est. Necesse enim est hunc non esse eiusmodi, vt eum pœniteat: quare est incurabilis: nam quem non pœnitet, incurabilis est, qui vero deficit, est huic oppositus, qui est medius, temperans. simili modo quoque qui corporis dolores, non quia sit inferior & vincatur, sed ex electione fugit. At eorum qui non eligunt, alter ob F voluptatem, alter ob id quod fugit dolorem ex cupiditate euenientem, ducitur: quare inter se differunt. vnicuique enim peior esse videretur, siquis aut nihil, aut leuiter cupiens turpe aliquid perpetraret: quàm si vehementi cupiditate affectus idem faceret: item si non iratus, quàm si iratus verberaret quispiam. quid enim ageret, si in affectu esset constitutus?